BOVRDINVS. Σκόπει.] ἄθρει καὶ ἐξέ- A ταζε.

Μόνην γὰρ αὐτὴν ὦνερ οὐ γιγνώσκομεν.
Κλ. Πολύν γε χρόνον οὐρεῖς σύ. Μν. νὴ Δί' ὦ μέλε.
Στραγγουριῶ γάρ. ἐχθὲς ἔφαγον κάρδαμα.
Κλ. Τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
Μν. Τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν; εἰπέ μοι. B
Κλ. Τίς ἔστ' ἀνήρ σοι. Μν. τὸν ἐμὸν ἄνδρα πυνθάνει;
Τὸν δεῖνα γιγνώσκεις τὸν ἐκ Κοθωκιδῶν;
Κλ. Τὸν δεῖνα ποῖον; ἔσθ' ὁ δεῖν' ὅς καί ποτε;
Μν. Τὸν δεῖνα τὸν τοῦ δεῖνα. Κλ. ληρεῖν μοι δοκεῖς.
Ἀνῆλθες ἤδη δεῦρο πρότερον; Μν. νὴ Δία.
Κλ. Ὁσ' ἔτη γε; καὶ τίς σοῦ 'στι συσκηνήτρια; C
Μν. Ἡ δεῖν' ἔμοιγε. Κλ. οἴμοι τάλας οὐδὲν λέγεις.
Γυ. Ἄπελθ', ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς.
Ἐκ τῶν ἱερῶν τῶν πέρυσι. σὺ δ' ἀπόστηθί μοι
Ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπέ μοι. D
Ὅτι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
Φέρ' ἴδω τί πρῶτον ἦν. Μν. ἐπίνομεν.
Γυ. Τί δὲ μετὰ τοῦτο δεύτερον. Μν. προὐπίνομεν.
Γυ. Ταυτὶ μὲν ἤκουσας τινός; τί δὲ τρίτον;
Μν. Σκάφιόν ξένη μ' ᾔτησεν. οὐ γὰρ ἦν ἀμίς. E
Γυ. Οὐδὲν λέγεις, δεῦρ' ἐλθὲ δεῦρ' ὦ Κλείσθενες,
Ὅδ' ἐστὶν ἁνὴρ ὃν λέγεις. Κλ. τί οὖν ποιῶ;
Γυ. Ἀπόδυσον αὐτόν, οὐδὲν ὑγιὲς γὰρ λέγει.
Μν. Κἄπειτ' ἀποδύσετ' ἐννέα παίδων μητέρα;
Γυ. Χάλα ταχέως τὸ στρόφιον ὦ 'ναίσχυντε σύ. F
Ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά.

*Solam enim ipsam ô vir, non cognoscimus.*
*CL. Multum quidem tempus mingis tu. SOC. Profectò ô miser,*
*Vrinæ enim stillicidium patior, heri comedi nasturtia.*
*CL. Quid, nasturtia? nónne venies huc ad me?*
*SOC. Quid verò me trahis ægrotantem? dic mihi.*
*CL. Quisnam est maritus tibi? SOC. meũ maritum rogas?*
*Ipsum illum nosti ex Cothocidis?*
*CL. Ipsum illum quem? éstne ipse ille, qui & olim?*
*SOC. Certum quendam filium certi cuiusdam. CL. nugari mihi videris.*
*Ascendistine iam huc ad hoc mysterium prius? SO. Per Iouem ascendi.*
*CL. Quot anni quidem sunt? & quænam est tui contubernalis?*
*SO. Certa quædam mihi quidem. CL. heu me miserum, nihil dicis.*
*MVL. Abi, ego enim torquebo, & examinabo hanc adductam ad quæstionem bene,*
*Ex sacris superioris anni: tu verò discede mihi,*
*Vt ne audias existens vir. Tu verò dic mihi,*
*Quódnam primùm nobis sacrorum ostendebatur.*
*Age videam, quídnam primum erat? SO. bibebamus.*
*MVL. Quid verò post hoc secundùm? SO. propinabamus.*
*MVL. Hæc quidem audisti de quo? quid verò tertiùm?*
*SO. Vasculum peregrina mulier à me petiit, non enim erat matella.*
*MVL. Nihil dicis. huc veni huc ô Clisthenes,*
*Hic est vir, quem dicis. CL. quid igitur faciam?*
*MVL. Exue ipsum, sanum enim & verum nihil dicit.*
*SO. Et deinde exuetis nouem filiorum matrẽ?*
*MVL. Relaxa citò strophium ô impudens tu.*
*Quàm & robusta quædam videtur & fortis,*

BOVRDINVS. Στραγγουριῶ.] δυσουρῶ γάρ, καὶ μετ' ἀλγήσεως διουρῶ. στραγγουρία δὲ ἡ δυσουρία. τούτοις δὲ ῥήμασιν καὶ προφάσεσιν χρῆται ὁ Εὐριπίδης βουλόμενος ἐκφεύγειν εὐσχημόνως ἐκ τῶν χειρῶν τῶνδε γυναικῶν. Ἔφαγον κάρδαμα.] καὶ γάρ ἐστιν ἐπισχετικὰ καὶ ἐφεκτικὰ οὔρων τὰ κάρδαμα καὶ πτυσμάτων. καὶ διὰ τὴν πρόφασιν τοὺς Πέρσας χρῆσθαι αὐτοῖς, ὅτι θέλουσι καὶ σπουδάζουσι φυλάττεσθαι G τὸ μὴ πολλὰ πτύειν, οὐρεῖν τε καὶ ἀπομύττεσθαι. καὶ γὰρ παρ' αὐτοῖς ὀνειδίζεται ἡ πτύσις πολλὴ οὔρησίς τε καὶ ἀπόμυξις, ὅτι φασὶ σημεῖον εἶναι τῆς καχεξίας. οὐδὲν δὲ βέλτιόν ἐστιν ἴαμα πρὸς τὸ ἐπέχειν ταύτην τὴν ἀμετρίαν οὐρήσεως πτυσμάτων καὶ ἀπομυγμάτων ἢ τὸ κάρδαμον. Καρδαμίζεις.] τουτέστι βλέπεις κάρδαμα, καὶ δριμὺ ὀρίγανόν τε, ὡς ἀλλαχοῦ που λέγει ὁ ποιητὴς ἐν Νεφέλ. Ἐκ Κοθωκιδῶν.] γεγονότα. Συσκηνήτρια.] συμφοιτῶσα, συνοῦσα καὶ συγγινομένη, καὶ συνερχομένη ἐπὶ ταύτην τὴν ἑορτὴν τῶν θεσμοφορείων. Βασανιῶ.] δοκιμάσω, ἐρευνήσω καὶ ἐξετάσω. μεταφορὰ δὲ ἡ ἀπὸ βασάνου λίθου ἧπερ ἐθιζόμεθα χρῆσθαι πρὸς τὴν τοῦ χρυσοῦ ἀνάκρισιν. Ἀπόστηθι.] ἄπιθι, ἐκποδὼν καὶ χώρει, τοῦ μὴ εἰσακούειν τῶν μυστηρίων ταύτης τῆς ἑορτῆς, ἅπερ οὐκ ἔστι θέμις ἀνδράσιν εἰδέναι. Τὸ σκάφιον.] ἔκπωμα, ποτήριον κοῖλον, σκάφῃ ὅμοιον. Ἀμίς.) τὸ ἀγγεῖον κατεσκευασμένον πρὸς τὸ ἐπουρεῖν, καὶ ἔπειτα σχετλιαστικόν ἐστι ἐπίρρημα τοῦ οὐκ ἐθέλοντος ποιεῖν ὅ,τι βούλεται ἄλλος μετὰ δυσχερείας. Στρόφιον.) τὸ στρογγύλον ζωνάριον. λέγεται δὲ καὶ τὸ περὶ τὴν κεφαλὴν στρόφιον, ὅπερ ἐστὶν ἐρεοῦν.

καὶ τούτῳ